ὑμνούμενον. Ἀρρωστῆσαι δὲ οἶμαι τοῦτο αὐτοὺς ἐκ πολλῆς ἄγαν ἀποπληξίας καὶ τῆς ἐνούσης αὐτοῖς ἀμαθίας, μᾶλλον δὲ εἰ
512A χρὴ τἀληθὲς εἰπεῖν | ἐξ ἐπιβουλῆς τοῦ πονηροῦ τε καὶ ἀρχεκάκου δράκοντος, φημὶ δὴ τοῦ Σατανᾶ.

2. Καὶ πρὸς τοῦτό γε ἡμᾶς ἐμπεδοῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος. « Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς τοῦ Χριστοῦ δόξης. » Ὅτι μὲν οὖν ὁ νομισθεὶς εἶναι θεὸς τοῦ αἰῶνος τούτου καὶ τῆς ἀνωτάτω δόξης κλοπεὺς ἐσκότισεν αὐτῶν τὴν καρδίαν, οὐκ ἀσυμφανές · πεπλάνηνται γὰρ ὁμολογουμένως καὶ ἀριθμοῦ κρείττονας ἐφιστᾶσι τῷ βίῳ θεούς, δαίμονάς τε καὶ ἡρώων ψυχάς, καθά φασιν αὐτοὶ καὶ φρονεῖν ἐγνώκασιν.

B Ἀλλ' ἦν ἂν ἐπ' αὐτοῖς τὸ τῶν εὖ | φρονούντων δάκρυον, οὐ σφόδρα πολὺ σιωπᾶν ἡρημένοις τὰ ἐφ' οἷς ἄν τις αἰσχύνοιτο · νῦν δὲ δὴ πρόεισι δυσσεβείας εἰς τοῦτο αὐτοῖς τὸ ἐγχείρημα ὥστε καὶ ἑτέροις ζητεῖν ἐνιέναι τῆς οὕτως αἰσχρᾶς δεισιδαιμονίας τὴν νόσον. Οἷα γάρ τινες ὄφεις τριόδοις ἐγκαθήμενοι τοῖς ἐν αὐταῖς διαστείχουσιν ἐπιπηδῶσι πικροί, τὸν τῆς ἀπωλείας ἰὸν τοῖς εὐπαραφόροις ἐγχέοντες · καὶ περὶ αὐτῶν ἂν λέγοιτο, καὶ σφόδρα εἰκότως · « Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες ; » Καὶ οὐκ ἂν ἁμάρτοι τοῦ ἀληθοῦς ὁ Κύριος λέγων · « Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὰ ἀγαθά, καὶ ὁ

UNIVERSITÄTS-BIBLIOTHEK LEIPZIG

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417119143/15 UNIVERSITÄT LEIPZIG